eul_wid: lou-ab

*Ἀριστόνους ὁ Κορίνθιος* · Aristonous of Corinth

# Hymn to Vesta

*Ὕμνος πρὸς Ἑστίαν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Δωρὶς λογοτεχνική* Literary Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Ἱερὰν ἱερῶν ἄνασσαν
Ἑστίαν ὑμνήσομεν, ἃ καὶ Ὄλυμπον
καὶ μυχὸν γαίας μεσόμφαλον ἀεὶ
Πυθίαν τε δάφναν κατέχουσα
ναὸν ἀν᾽ ὑψίπυλον Φοίβου χορεύεις
τερπομένα τριπόδων θεσπίσμασι,
καὶ χρυσέαν φόρμιγγ᾽ Ἀπόλλων
ὁπηνίκ᾽ ἂν ἑπτάτονον
κρέκων μετὰ σοῦ θαλιάζοντας
θεοὺς ὕμνοισιν αὔξῃ.
Χαῖρε Κρόνου θύγατερ
καὶ Ῥέας, μούνα πυρὸς ἀμφιέπουσα
βωμοὺς ἀθανάτων ἐριτίμους,
Ἑστία, δίδου δ᾽ ἀμοιβὰς
ἐξ ὁσίων πολὺν ἡμᾶς
ὄλβον ἔχοντας ἀεὶ λιπαρόθρονον
ἀμφὶ σὰν θυμέλαν χορεύειν.